τάχος ἢ κινήσεις διαπονοῦσι τοῖς πρὸς λάβρακας ἢ γόγ-
γρους ἢ σκάρους ἀγῶσιν· | ὥσπερ ἐνταῦθα τὰ μὲν θυ- 966
μοειδῆ τὸ φιλοκίνδυνον καὶ τὸ ἀνδρεῖον ἀσκεῖ τῶν μαχο-
μένων, τὰ δὲ πανοῦργα τὸ φροντιστικὸν καὶ συνετὸν τῶν
ἐπιτιθεμένων, τὰ δὲ ποδώκη τὸ ῥωμαλέον καὶ φιλόπο-
νον τῶν διωκόντων. καὶ ταῦτα τὸ κυνηγεῖν καλὸν πε-
ποίηκε· τὸ δ᾿ ἁλιεύειν ἀπ᾿ οὐδενὸς ἔνδοξον· οὐδέ γε θεῶν
τις ἠξίωσεν, ὦ ἑταῖρε, ‘γογγροκτόνος’, ὥσπερ ὁ Ἀπόλλων
‘λυκοκτόνος’, οὐδὲ ‘τριγλοβόλος’, ὥσπερ ‘ἐλαφηβόλος’
ἡ Ἄρτεμις, λέγεσθαι. καὶ τί θαυμαστόν, ὅπου καὶ ἀν-
θρώπῳ σῦν μὲν καὶ ἔλαφον καὶ νὴ Δία δορκάδα καὶ
λαγωὸν ἑλεῖν κάλλιον ἢ πρίασθαι, θύννον δὲ καὶ κάραβον
καὶ ἀμίαν σεμνότερόν ἐστιν αὐτὸν ὀψωνεῖν ἢ ἁλιεύειν;
τὸ γὰρ ἀγεννὲς καὶ ἀμήχανον ὅλως καὶ ἀπάνουργον αὐτῶν B
αἰσχρὸν καὶ ἄζηλον καὶ ἀνελεύθερον τὴν ἄγραν πεποίηκε.

10. Καθόλου δ᾿, ἐπεὶ δι᾿ ὧν οἱ φιλόσοφοι δεικνύουσι
τὸ [τε] μετέχειν λόγου τὰ ζῷα, προθέσεις εἰσὶ καὶ πα-
ρασκευαὶ καὶ μνῆμαι καὶ πάθη καὶ τέκνων ἐπιμέλειαι
καὶ χάριτες εὖ παθόντων καὶ μνησικακίαι πρὸς τὸ λυπῆ-
σαν, ἔτι δ᾿ εὑρέσεις τῶν ἀναγκαίων, ἐμφάσεις ἀρετῆς,
οἷον ἀνδρείας κοινωνίας ἐγκρατείας μεγαλοφροσύνης,
σκοπῶμεν τὰ ἔναλα, εἰ τούτων ἐκεῖνα μὲν οὐδὲν ἤ πού
τι παντελῶς ἀμαυρὸν αἴθυγμα καὶ δυσθέατον ἐνιδεῖν
μάλα μόλις τεκμαιρομένῳ δίδωσιν· ἐν δὲ τοῖς πεζοῖς καὶ
γηγενέσι λαμπρὰ καὶ ἐναργῆ καὶ βέβαια παραδείγματα C
τῶν εἰρημένων ἑκάστου λαμβάνειν ἔστι καὶ θεᾶσθαι.
πρῶτον οὖν ὅρα προθέσεις καὶ παρασκευὰς ταύρων ἐπὶ
μάχῃ κονιομένων καὶ κάπρων θηγόντων ὀδόντας· ἐλέ-